ΖΕΥΣ. Τί οὖν ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην· οἱ μὲν, ὥσπερ ὁ Τάνταλος, ἄποτοι καὶ ἄγευστοι, καὶ ξηροὶ τὸ στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ· οἱ δὲ, καθάπερ ὁ Φινεὺς, ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ τῶν Ἁρπυιῶν ἀφαιρούμενοι· ἀλλ' ἄπιθι ἤδη σωφρονεστέρῳ παραπολὺ τῷ Τίμωνι ἐντευξόμενος.

ΠΛΟΥΤ. Ἐκεῖνος γάρ ποτε[46] παύσεται ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιῤῥοὴν, μὴ ὑπέραντλος εἰσπεσὼν ἐπικλύσω αὐτόν; ὥστε ἐς τὸν τῶν Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ, καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ στέγοντος· ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιῤῥέοντος· οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου, καὶ ἀκώλυτος ἡ ἔξοδος.

ΖΕΥΣ. Οὐκοῦν εἰ μὴ ἐμφράξηται τὸ κεχηνὸς τοῦτο, καὶ ἐς τὸ ἅπαξ[47] ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου, ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις, καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου· ἀλλ' ἄπιτε ἤδη, καὶ πλουτίζετε αὐτόν· σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσωσιν, ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα.

ΕΡΜ. Προΐωμεν, ὦ Πλοῦτε· τί τοῦτο; ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν.

ΠΛΟΥΤ. Οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ, ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα πεμφθεὶς ὑπὸ τοῦ Διὸς, οὐκ οἶδ' ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις[48], ὡς μόγις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ περιμένοντος· ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει, πολὺ τῶν ὀρνέων ὠκύτερον· ἅμα γοῦν ἔπεσεν[49] ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκὼς, ὑπερπηδήσας τὸ στάδιον, οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν.

ΕΡΜ. Οὐκ ἀληθῆ ταῦτα φής· ἐγὼ δὲ καὶ πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι, χθὲς μὲν οὐδὲ ὀβολὸν, ὥστε πρίασθαι βρόχον, ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους, καὶ πολυτελεῖς, ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε· καὶ ὅμως πορφυροῖ καὶ χρυσόχειρες[50] περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες οἶμαι ὅτι μὴ ὄναρ πλουτοῦσιν.

ΠΛΟΥΤ. Ἑτεροῖον τοῦτ' ἐστὶν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε, οὐδὲ ὁ Ζεὺς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐτοὺς, ἅτε πλουτοδότης, καὶ μεγαλόδωρος καὶ αὐτὸς ὤν· δηλοῖ γοῦν καὶ τῷ ὀνόματι· ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον[51] ἐμβαλόντες[52] με καὶ κατασημηνάμενοι ἐπιμελῶς, φορηδὸν ἀράμενοι μετακομίζουσι· καὶ ὁ μὲν νεκρὸς[53] ἐν σκοτεινῷ που τῆς οἰκίας πρόκειται, ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς[54]· ἐμὲ δὲ οἱ ἐπελπίσαντες ἐν τῇ ἀγορᾷ[55] περιμένουσι κεχηνότες, ὥσπερ τὴν

---

46) Ο Γὰρ αἰτιολογεῖ τὴν ὑπονοουμένην ὑπόκρισιν τοῦ πλούτου. Ἐκεῖνος γενήσεται σωφρονέστερός ποτε; οὐδέποτε. Οὐ γάρ ποτε παύσεται κτλ. 47) = Εἰσάπαξ ἐντελῶς.

48) (Ἐνν.) Τοῖς ποσίν. 49) Το αὐτὸ καὶ ἐν τῷ Περὶ τοῦ μὴ ῥᾳδίως πιστεύειν τῇ διαβολῇ· « Τῆς ὕσπληγγος εὐθὺς καταπεσούσης. » 50) Φοροῦντες πορφύραν καὶ χρυσᾶ δακτυλίδια.

51) Ἐννοεῖ τὰς περὶ κληρονομιῶν διαθήκας. 52) Οἱ κληρονόμοι. 53) Τοῦ κληροδότου.

54) Μαχομέναις πρὸς ἀλλήλας ποία νὰ πρωτοφάγῃ τὸ πτῶμά του. 55) Διότι ἡ διαθήκη